ἦν πωλῇ νεώτερος τριάκοντα ἐτῶν, ἔρωμαι ὁπόσου
πωλεῖ; Ναὶ τά γε τοιαῦτα, ἔφη ὁ Χαρικλῆς· ἀλλά τοι
σύγε, ὦ Σώκρατες, εἴωθας εἰδὼς πῶς ἔχει τὰ πλεῖ-
στα ἐρωτᾶν· ταῦτα οὖν μὴ ἐρώτα. Μηδ' ἀποκρίνωμαι
οὖν, ἔφη, ἄν τίς με ἐρωτᾷ νέος, ἐὰν εἰδῶ, οἷον ποῦ
οἰκεῖ Χαρικλῆς ἢ ποῦ ἐστι Κριτίας; Ναὶ τά γε τοιαῦτα,
ἔφη ὁ Χαρικλῆς. ὁ δὲ Κριτίας· Ἀλλὰ τῶνδέ τοί σε 37
ἀπέχεσθαι, ἔφη, δεήσει, ὦ Σώκρατες, τῶν σκυτέων
καὶ τῶν τεκτόνων καὶ τῶν χαλκέων· καὶ γὰρ οἶμαι αὐ-
τοὺς ἤδη κατατετρῖφθαι διαθρυλουμένους ὑπὸ σοῦ.
Οὐκοῦν, ἔφη ὁ Σωκράτης, καὶ τῶν ἑπομένων τούτοις,
τοῦ τε δικαίου καὶ τοῦ ὁσίου καὶ τῶν ἄλλων τῶν
τοιούτων; Ναὶ μὰ Δί', ἔφη ὁ Χαρικλῆς· καὶ τῶν βου-
κόλων γε· εἰ δὲ μή, φυλάττου ὅπως μὴ καὶ σὺ ἐλάτ-
τους τὰς βοῦς ποιήσεις. ἔνθα καὶ δῆλον ἐγένετο ὅτι 38
ἀπαγγελθέντος αὐτοῖς τοῦ περὶ τῶν βοῶν λόγου ὠρ-
γίζοντο τῷ Σωκράτει.

Οἵα μὲν οὖν ἡ συνουσία ἐγεγόνει Κριτίᾳ πρὸς
Σωκράτη καὶ ὡς εἶχον πρὸς ἀλλήλους, εἴρηται. φαίην 39
δ' ἂν ἔγωγε μηδενὶ μηδεμίαν εἶναι παίδευσιν παρὰ τοῦ
μὴ ἀρέσκοντος. Κριτίας δὲ καὶ Ἀλκιβάδης οὐκ ἀρέ-
σκοντος αὐτοῖς Σωκράτους ὡμιλησάτην ὃν χρόνον ὡμι-
λείτην αὐτῷ, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ὡρμηκότε προεστάναι
τῆς πόλεως. ἔτι γὰρ Σωκράτει συνόντες οὐκ ἄλλοις

---

1 πολὺ **M** ἔρομαι **A**$^{1}$(?)**Y** 2 πωλῇ **Y** ἀλλά . . . ὁ Χαρικλῆς (7) om. **AX** 5 οὖν om. **Y** τί Cobet ἴδω **MORZ** 6 ἐκεῖ **Z** ἢ] καὶ **Y** 7 ἀλλὰ τῶν δέ τοισι **X** ἀλλά τοι σύ γε ὦ Σ. ὁ Κ. τῶν δέ τοι σε ἀ. ἔ. δεήσει **O** 9 pr. τῶν om. **AZ** 10 κατατετρύφθαι **X** διαθρυλλ. **A**$^{1}$(?)**BORXZ** διαθλουμένους **Y**$^{1}$ 11 τούτοις] τοῖς **BM**$^{1}$**ORXY** 12 τοῦ τε (om. **B**) . . . τοιούτων (δικαίων **MORXY**) del. Dobree 15 βόας **B** ποιήσεις **X**$^{1}$ ποιήσης rell. 18 οὖν om. **B** πρὸς τὸν **Y** 22 χρόνον] τρόπον **Y** ὡμιλησάτην **A**



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408458038/27 UNIVERSITÄT LEIPZIG